λίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν, οὐκ
ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ οὐδ' ἀναμείναντες τὸν
αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον.
καὶ γὰρ ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ ὑπὸ
80 πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν
φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν
ἀρετήν. καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες
τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς
ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς
81 αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν
οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ
μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι,
οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνή-
μην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη
τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πά-
τριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

3.

## | ΠΡΟΣ ΣΙΜΩΝΑ ΑΠΟΛΟΓΙΑ.

1 Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ ἄν
ποτ' αὐτὸν εἰς τοσοῦτον τόλμης ἡγησάμην ἀφικέσθαι,
ὥστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς
ἀδικούμενον ἔγκλημα ποιήσασθαι καὶ οὕτω μέγαν καὶ
2 σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. εἰ μὲν οὖν

1 κινδυνεύοντες Rs ἐτελεύτησαν οὕτως τὸν βίον F 2 περὶ] τὰ περὶ M corr. 4 καὶ γὰρ scripsi: καίτοι γὰρ VX, καὶ γάρ τοι F ἀγήρατοι . . . μνῆμαι laudat lex. Vind. 21 10 τιμαῖς αἷς καὶ Cob 11 τιμῶ superscripto ζηλῶ F 12 μόνους τούτους F κρείττους γενέσθαι superscripto κρεῖττον εἶναι F[s] 14 ⟨τὴν⟩ αὐτῶν Hude δ' post ὅμως om. F 16 ὀλοφύρασθαι V τοὺς τεθνεῶτας γρ. τοὺς θαπτομένους F Λυσίου· ἐπιτάφιος: — τέλος add. X 18 Or. III. Λυσίου πρὸς X 20 τοσοῦτο X 23 ἐλθεῖν cf. Din. III 3



ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα
ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν ὅτι καὶ παρασκευαὶ
καὶ τύχαι ἐνίοτε τοιαῦται γίγνονται, ὥστε πολλὰ καὶ
παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν. εἰς ὑμᾶς
δ' εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι. μάλιστα δ' 3
ἀγανακτῶ, ὦ βουλή, ὅτι περὶ τοιούτων πραγμάτων εἰπεῖν
ἀναγκασθήσομαι πρὸς ὑμᾶς, ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος,
εἰ μέλλοιεν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδικού-
μενος. ἐπειδὴ δὲ Σίμων με εἰς τοιαύτην ἀνάγκην κα-
τέστησεν, οὐδὲν ἀποκρυψάμενος ἅπαντα διηγήσομαι πρὸς
ὑμᾶς τὰ πεπραγμένα. ἀξιῶ δέ, ὦ βουλή, εἰ μὲν ἀδικῶ, 4
μηδεμιᾶς συγγνώμης τυγχάνειν· ἐὰν δὲ περὶ τούτων
ἀποδείξω ὡς οὐκ ἔνοχός εἰμι οἷς Σίμων διωμόσατο, ἄλ-
λως δὲ ὑμῖν φαίνωμαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ
ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς
μηδέν με χείρω νομίζειν, εἰδότας ὅτι ἐπιθυμῆσαι μὲν
ἅπασιν ἀνθρώποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη
καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς
φέρειν δύναται. οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται
Σίμων οὑτοσί, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω.
Ἡμεῖς γὰρ ἐπεθυμήσαμεν, ὦ βουλή, Θεοδότου, Πλα- 5
ταϊκοῦ μειρακίου, καὶ ἐγὼ μὲν εὖ ποιῶν αὐτὸν ἠξίουν
εἶναί μοι φίλον, οὗτος δὲ ὑβρίζων καὶ παρανομῶν ᾤετο
ἀναγκάσειν αὐτὸν ποιεῖν ὅ τι βούλοιτο. ὅσα μὲν οὖν

3 καὶ τέχναι ἐν. Halb., sed cf. Isocr. XVIII 9 καὶ post πολλὰ del. vel πολλὰ πολλάκις παρὰ P. Müller, sed cf. Plat. resp. V 467d 6 τοιούτων πραγμάτων Franz: τῶν τραυμάτων X, τῶν πραγμάτων Markl cf. 40. 48, περὶ τῶν τραυμ. del. Halb, qui 7 περὶ ὧν prop. 8 συνοίσεσθαι X 12 τούτων μὲν ἀποδ. F. Müller 14 φαίνωμαι ex φαίνομαι a m. pr. corr. X 15 πρὸς τὸ μειρ. del. Halb 18 τὰς τοιαύτας συμφ. Cob 19 post δύναται lacunam esse vult Herw ἅπασιν del. et deinde ἐγὼ πᾶσιν ὑμῖν P. Müller 20 οὑτοσί Cob: οὗτος X

ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη
λέγειν· ὅσα δὲ εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ'
6 ὑμῖν προσήκειν ἀκοῦσαι. πυθόμενος γὰρ ὅτι τὸ μειρά-
κιον ἦν παρ' ἐμοί, ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν ἐμὴν νύκ-
τωρ | μεθύων, ἐκκόψας τὰς θύρας εἰσῆλθεν εἰς τὴν
γυναικωνῖτιν, ἔνδον οὐσῶν τῆς τε ἀδελφῆς τῆς ἐμῆς καὶ
τῶν ἀδελφιδῶν, αἳ οὕτω κοσμίως βεβιώκασιν ὥστε καὶ
7 ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰσχύνεσθαι. οὗτος τοίνυν
εἰς τοῦτο ἦλθεν ὕβρεως ὥστ' οὐ πρότερον ἠθέλησεν
ἀπελθεῖν, πρὶν αὐτὸν ἡγούμενοι δεινὰ ποιεῖν οἱ παρα-
γενόμενοι καὶ οἱ μετ' αὐτοῦ ἐλθόντες, ἐπὶ παῖδας κόρας
καὶ ὀρφανὰς εἰσιόντα, ἐξήλασαν βίᾳ. καὶ τοσούτου
ἐδέησεν αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστε ἐξευ-
ρὼν οὗ ἐδειπνοῦμεν ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότα-
8 τον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκα-
λέσας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς
με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην,
ἐκστὰς ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει, Ἀρι-
στοκρίτου δέ, ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ
9 συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν, ὦ βουλή, ἡγούμενος
μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δέ, ὅπερ ἤδη καὶ πρό-
τερον εἶπον, τῇ συμφορᾷ, ἠνειχόμην, καὶ μᾶλλον ᾑρού-
μην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην ἢ δόξαι
τοῖς πολίταις ἀνόητος εἶναι, εἰδὼς ὅτι τῇ μὲν τούτου
πονηρίᾳ πρέποντα ἔσται τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ
καταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθι-
σμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι.

11 καὶ οἱ . . . ἐλθόντες del. Francken 14 ἐδειπνοῦμεν, π et μ ex binis litteris a m. pr. corr. $X^s$, ἐδει συνουσῃ? pr. $X^h$ 18 ἐκστὰς Tayl: ἐνστὰς X, cf. Eur. Iph. T. 1229, Ar. Ach. 617, ἄποθεν στὰς pp. Rs 19 βαλὼν λίθῳ del. Halb 25 ἔσται sc. apud iudices, ἐστι Dobr



οὕτω δὲ σφόδρα ἠπορούμην ὅ τι χρησαίμην, ὦ βουλή, 10
τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξέ μοι κράτιστον εἶναι
ἀποδημῆσαι [ἐκ τῆς πόλεως]. λαβὼν δὴ τὸ μειράκιον
(ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως.
ἐπειδὴ δὲ ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον Σίμωνι ἐπι-
λαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρό-
τερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχό- 11
μην εἰς Πειραιᾶ, οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα
τὸν Θεόδοτον καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ, ὃς ᾤκει
πλησίον τῆς οἰκίας ἧς οὗτος ἐμεμίσθωτο, παρεκάλεσέ
τινας τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων
καὶ ἔπινον, φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν',
ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσειαν αὐτόν. ἐν δὲ 12
τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ Πειραιῶς, καὶ τρέπο-
μαι παριὼν ὡς τὸν Λυσίμαχον· ὀλίγον δὲ χρόνον δια-
τρίψαντες ἐξερχόμεθα. οὗτοι δ' ἐκπηδῶσιν ἐφ' ἡμᾶς ἤδη
μεθύοντες. καὶ οἱ μέν τινες αὐτῷ τῶν παραγενομένων
οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δὲ οὑτοσὶ καὶ
Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἷλκον τὸ μει-
ράκιον. ὁ δὲ ῥίψας τὸ ἱμάτιον ᾤχετο φεύγων. ἐγὼ δὲ 13
ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ', ἐπειδὴ
τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέ-
ψεσθαι — ταῦτα διανοηθεὶς ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών·

2 παρανομίᾳ] παροινίᾳ Cont 3 sq. ἐκ τῆς πόλεως bis del. Kayser; ἀποδ. certe apud Lys. caret tali explicatione λαβὼν δὲ X, quod defendit Fuhr ad XIX 49, sed cf. XXVI 21, XXXI 33 8 εἰς est in $X^w$, ἐς $X^h$ 11 τῶν τούτου cf. 28 XII 84 12 φύλακα Cob φύλ. καταστήσαντες Halb τέγους ex ςέγους corr. a pr. m. $X^s$ 13 εἰσαρπάσαιεν X 14 πειραιέως X κἀκτρέπομαι Halb 16 ἤδη μεθύοντες, quae leguntur post ἐξερχ. in libris, huc transposuit Rs, οὗτοι δ' ἤδη μεθ. Schott, οἱ δὲ μεθ. ἐκπ. Cob, ἤδη δὲ μεθ. οὗτοι ἐκπ. Halb 23 ταῦτα διαν. cf. XII 16, ταῦτα δὴ διαν. Rs

οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα τὰ ὑπὸ
τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον.
14 κἀνταῦθα μέν, ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι,
οὔτε τούτων οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κε-
φαλὴν οὔτε ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὧν ἐγὼ τοὺς παρα-
γενομένους ὑμῖν παρέξομαι μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

15 Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, καὶ
ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παρα-
γενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν
μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπε-
σόντες ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυ-
16 ρόμενον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν καὶ ἀγα-
νακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ
γιγνόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μό-
λωνα δὲ τὸν γναφέα καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπι-
17 χειροῦντας συνέκοψαν. ἤδη δὲ αὐτοῖς οὖσι παρὰ τὴν
Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυγχάνω, δεινὸν
δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν περιιδεῖν οὕτως ἀνό-
μως καὶ βιαίως | ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβά-
νομαι αὐτοῦ. οὗτοι δέ, δι' ὅ τι μὲν τοιαῦτα παρενόμουν
εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι
18 δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. μάχης ⟨δὲ⟩ γενομένης,
ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς κἀμοῦ

1 τὰ Rs: ταῦτα X, ὑπὸ τούτ. γιγν. del. Dobr, ταῦτα τὰ ὑπὸ Hertlein 3 κἀνταῦθα Cont: καὶ ταῦτα X 5 ἔλαβεν C: ἔλ$^{α}$ X, ἔσχεν M corr. ὧν Markl: ὡς X 7 lemma in margine praebet X$^{s}$ 10 μεταξὺ δὲ τούτων malit Rs 12 καὶ διαμαρτ. malit Scheibe, διαμαρτ. P. Müller, sed cf. Ant. I 29 17 κατὰ τὴν Naber 20 βιαίως· οὕτως ὑβρισθέντα X$^{st}$, οὕτως hic ret., priore loco del. Zaka 21 παρηνόμουν X 23 δὲ add. C 24 κἀμοῦ Francken (καὶ ἐμοῦ): καὶ X



περὶ τοῦ σώματος ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλ-
λόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης κἀκείνου
ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις
ἡμῖν ἁπάντων ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ συν-
τριβόμεθα τὰς κεφαλὰς ἅπαντες. καὶ οἱ μὲν ἄλλοι οἱ 19
μετὰ τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον 6
μετὰ ταῦτα, ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδι-
κούμενοι ἀλλ' ὡς δεινὰ πεποιηκότες· καὶ ἐξ ἐκείνου τοῦ
χρόνου τεττάρων ἐτῶν παρεληλυθότων οὐδέν μοι πώ-
ποτε ἐνεκάλεσεν οὐδείς. Σίμων δ' οὑτοσί, ὁ πάντων τῶν 20
κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν 11
ἦγε δεδιὼς περὶ αὑτοῦ, ἐπειδὴ δὲ δίκας ἰδίας ἤσθετο
κακῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου
οὑτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατέστησεν. ὡς
οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενο-
μένους μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Τὰ μὲν οὖν γεγενημένα καὶ ἐμοῦ καὶ τῶν μαρτύρων 21
ἀκηκόατε· ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν
γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες
τἀληθῆ ῥᾳδίως ἔγνωτε τὰ δίκαια. ἐπειδὴ δὲ αὐτῷ οὐδὲν
μέλει τῶν ὅρκων ὧν διωμόσατο, πειράσομαι καὶ περὶ
ὧν οὗτος ἔψευσται διδάσκειν ὑμᾶς. Ἐτόλμησε γὰρ εἰπεῖν 22

2 τυπτόντων, id quod sobrii non fecissent κἀκείνου scripsi: καὶ ἐμοῦ X, καὶ π. τ. σωμ. ἀμ. del. et postea καὶ ἐμοῦ περὶ τοῦ σώμ. ἀμ. Kayser, καὶ τούτων . . . ἀμυνομένου del. Francken, τούτων αὐτὸν βαλλόντων, ἔτι δὲ τυπτόντων ἡμᾶς Herw, qui ὑπὸ τῆς μέθης delet; ἔτι δὲ πιπτόντων αὐτῶν Rs, librum tuetur Fuhr, Berl. Phil. Woch. 1901, 1544 7 ὡς ἠδικημένοι Halb, ὡς ἠδ. οἶμαι Herw 10 οὑτωσὶ X$^{h}$ τῶν habet X$^{w}$ (παν̄ τ̄) 12 δίκας . . . 13 ἀντιδόσεως, cf. Lipsius, Att. Recht 595 13 ⟨μ'⟩ ἐξ ci. Hude, cf. § 47 καταφρονήσεώς X 17 lemma in margine X

ὡς αὐτὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συν-
θήκας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δ' ἐπιβουλεύσας
ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτόν, εἴπερ
ἦν ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας ὡς πλείστους
23 κατὰ τοὺς νόμους διαπράττεσθαι περὶ αὐτῶν. οὗτος δὲ
τοιοῦτον οὐδὲν πώποτε φαίνεται ποιήσας, ὑβρίζων δὲ
καὶ τύπτων ἅμ' ἀμφοτέρους ἡμᾶς καὶ κωμάζων καὶ τὰς
θύρας ἐκβάλλων καὶ νύκτωρ εἰσιὼν ἐπὶ γυναῖκας ἐλευ-
θέρας. ἃ χρὴ μάλιστα, ὦ βουλή, τεκμήρια νομίζειν ὅτι
24 ψεύδεται πρὸς ὑμᾶς. σκέψασθε δὲ ὡς ἄπιστα εἴρηκε.
τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπασαν πεντήκοντα καὶ δια-
κοσίων δραχμῶν ἐτιμήσατο. καίτοι θαυμαστὸν εἰ τὸν
ἑταιρήσοντα πλειόνων ἐμισθώσατο ὧν αὐτὸς τυγχάνει
25 κεκτημένος. εἰς τοῦτο δ' ἥκει τόλμης ὥστε οὐκ ἐξαρκεῖ
περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι
τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φησί· καίτοι πῶς
εἰκός ἐστι τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν οἷα κα-
τηγόρηκεν οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακο-
σίας δραχμάς, ἐπειδὴ δὲ ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀπο-
δοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλη-
26 μάτων μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομένης; ἀλλὰ
γάρ, ὦ βουλή, πάντα αὐτῷ ταῦτα σύγκειται καὶ μεμη-
χάνηται, καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ ποιεῖν,
εἰ μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου τοιαῦτα ἐτόλμα
ὑβρίζειν τὸ μειράκιον, ἀπειληφέναι δὲ προσποιεῖται, διότι

7 ἅμ' post Tayl editores damnaverunt, cf. II 33 (adolescens certe cur vapularet, non erat) 8 ἐκβάλλων cf. fr. 37 9 χρὴ μέγιστα Hamaker 13 πλείονος Cob 15 περὶ altero loco del. Cont 16 ἀλλὰ κἀνακεκομίσθαι Francken, sed cf. XIX 23. 57 17 ἐξαμαρτεῖν Halb, sed cf. I 40. 41 18 βουλομένους C: βουλόμενος X 25 ὑβρ. εἰς τὸ Rs



φανερός ἐστιν ἐγκαλέσας οὐδέποτ' ἀργύριον οὐδὲ μνείαν
περὶ τούτου οὐδεμίαν ποιησάμενος.

Φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύραις ὑπ' ἐμοῦ δεινῶς δια- 27
τεθῆναι τυπτόμενος. φαίνεται δὲ πλεῖν ἢ τέτταρα στάδια
ἀπὸ τῆς οἰκίας διώξας τὸ μειράκιον οὐδὲν κακὸν ἔχων,
καὶ ταῦτα πλεῖν ἢ διακοσίων ἰδόντων ἀνθρώπων ἔξαρ-
νός ἐστι.

Λέγει δ' ὡς ἡμεῖς ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τού- 28
του ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀπο-
κτενεῖν, καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. ἐγὼ ⟨δ'⟩ ἡγοῦ-
μαι, ὦ βουλή, ῥᾴδιον εἶναι γνῶναι ὅτι ψεύδεται, οὐ
μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων,
ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. τῷ γὰρ ἂν δόξειε πιστὸν 29
ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ | τὴν
Σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, το-
σούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων, εἰ μὴ εἰς
τοῦτο μανίας ἀφικόμην ὥστε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς
μάχεσθαι, ἄλλως τε καὶ εἰδὼς ὅτι ἀσμένως ἄν με εἶδεν
ἐπὶ ταῖς θύραις ταῖς αὐτοῦ, ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν
φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς οὔτε τῶν ἀδελ-
φιδῶν φροντίσας ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ
δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν 30
ἄρα, ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν
ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρόνος
διεγένετο, πάλιν, ὡς οὗτός φησιν, ἐπεθύμησα περιβόητος
γενέσθαι; καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν 31
ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ ⟨ὡς⟩ ἐγὼ διὰ τὴν ἐπι-
θυμίαν ἠναγκαζόμην ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων·

3 ταῖς αὐτοῦ X 10 ἡ ante προν. del. Halb, sed est „illud quod mihi crimini vertit, necandi consilium" cf. XIII 85 δ' add. C 18 ἄσμενος Tayl, sed cf. XIII 11, XXI 18 24 ἐμαυτῷ add. C Halb 25 ἐνεγένετο Cob, sed cf. I 15. 22 27 ὡς add. C

νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέγετο, ἀλλ' ἐμίσει πάντων
ἀνθρώπων μάλιστα, παρ' ἐμοὶ δ' ἐτύγχανε διαιτώμενον,
32 ὥστε τῷ ὑμῶν πιστὸν ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα
ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον, ἵνα μὴ τούτῳ μαχοί-
μην, ἐπειδὴ δὲ ἀφικόμην πάλιν, ἦγον αὐτὸν ἐπὶ τὴν οἰ-
κίαν τὴν Σίμωνος, οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν;
33 καὶ ἐπεβούλευον μὲν αὐτῷ, οὕτω δὲ ἦλθον ἀπαράσκευος,
ὥστε μήτε φίλους μήτε οἰκέτας μήτε ἄλλον ἄνθρωπον
παρακαλέσαι μηδένα, εἰ μὴ τοῦτό γε τὸ παιδίον, ὃ ἐπι-
κουρῆσαι μέν μοι οὐκ ἂν ἐδύνατο, μηνῦσαι δὲ ἱκανὸν
34 ἦν βασανιζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον; ἀλλ' εἰς το-
σοῦτον ἀμαθίας ἀφικόμην, ὥστε ἐπιβουλεύων Σίμωνι οὐκ
ἐτήρησα αὐτὸν οὗ μόνον οἷόν τ' ἦν λαβεῖν, ἢ νύκτωρ ἢ
μεθ' ἡμέραν, ἀλλ' ἐνταῦθα ἦλθον οὗ αὐτὸς ἔμελλον ὑπὸ
πλείστων ὀφθήσεσθαί τε καὶ συγκοπήσεσθαι, ὥσπερ κατ'
ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων, ἵν' ὡς μάλιστα ὑπὸ
τῶν ἐχθρῶν ὑβρισθείην;
35 Ἔτι τοίνυν, ὦ βουλή, καὶ ἐκ τῆς μάχης τῆς γενομένης
ῥᾴδιον γνῶναι ὅτι ψεύδεται. τὸ γὰρ μειράκιον ὡς ἔγνω,
ῥίψαν θοἰμάτιον, φεῦγον ᾤχετο, οὗτοι δὲ αὐτὸν ἐπε-
36 δίωκον, ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην. καίτοι
ποτέρους χρὴ αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν,
τοὺς φεύγοντας ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν
γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον ὅτι φεύγουσι μὲν οἱ
περὶ αὐτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι
37 ποιῆσαι κακόν. οὐ τοίνυν ταῦτα εἰκότα ⟨μέν⟩, ἄλλως

5 ἦγον αὐτὸς Rs 8 ἀνθρώπων Blass 9 παιδίον Theodotum dicit, qui civis non erat, cf. (Demosth) LIX 105 10 ἱκανὸν ἦ X 11 τοσοῦτο X 13 ἢ μεθ' ἡμέραν del. Tayl 18 μάχης τῆς λεγομένης Bake 20 φεῦγον, superscripto ων X 21 ὁδὸν del. Cob, sed cf. § 13 22 χρὴ Bekker: χρῆν X 26 μέν hic add. Sauppe, ταῦτα μὲν εἰκ. Rs



δὲ περὶ αὐτῶν πέπρακται, ἀλλὰ καταλαβόντες τὸ μειρά-
κιον ἐκ τῆς ὁδοῦ ἦγον βίᾳ, ἐντυχὼν δ' ἐγὼ τούτων μὲν
οὐχ ἡπτόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην· οὗτοι δὲ
ἐκεῖνόν τε ἦγον βίᾳ καὶ ἐμὲ ἔτυπτον. καὶ ταῦθ' ὑμῖν
ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥστε δεινὸν εἰ
περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι
τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. τί 38
δ' ἂν ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων
ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγώ, ἀπαντήσας
Σίμωνι, ἐμαχόμην αὐτῷ καὶ ἔτυπτον αὐτὸν καὶ ἐδίωκον
καὶ καταλαβὼν ἄγειν βίᾳ ἐζήτουν, ὅπου νῦν τούτου ταῦ-
τα πεποιηκότος ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν
ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ
ἁπάσης κινδυνεύω; Τὸ δὲ μέγιστον καὶ περιφανέστατον 39
πάντων· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ,
ὥς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς
ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι, ὅταν ἐρῶσι καὶ ἀποστερῶνται
ὧν ἐπιθυμοῦσι καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα
τιμωρεῖσθαι ζητοῦσιν, οὗτος δὲ χρόνοις ὕστερον.
Ὅτι μὲν οὖν, ὦ βουλή, οὐδενὸς αἴτιός εἰμι τῶν γε- 40
γενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· οὕτω δὲ διά-
κειμαι πρὸς τὰς ἐκ τῶν τοιούτων πραγμάτων διαφοράς,
ὥστε καὶ ἄλλα πολλὰ ὑβρισμένος ὑπὸ Σίμωνος καὶ κα-
ταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ οὐκ ἐτόλμησα αὐτῷ ἐπι-

1 περὶ αὐτῶν habet X[s], del. Francken, τὸ πρᾶγμα αὐτὸ 8 τῶν νυνὶ Dobr 6 περὶ τούτων del. Halb, sed cf. § 42 ἦν καὶ Cob marg. Ald 9 ἦν εἰ del. Halb, γεγενημέν' ἐδίωκον ⟨τὸ μειρά- 10 αὐτῷ del. Herw αὐτὸν del. Halb κιον⟩ Rs 13 καὶ ⟨περὶ⟩ τῆς Herw, sed cf. I 2 16 ⟨εἰσελθὼν⟩ εἰς ὑμᾶς Halb, δείσας ὑμᾶς P. Müller, sed cf. Isaeum ap. Poll. VIII 33 17 καί⟨τοι⟩ οἱ Halb, falso ἐρῶσι καὶ del. Halb, ἐρῶντες Rauch, ἀποτυγχάνωσιν ὧν ἐρῶσι καὶ P. Müller 19 χρόνοις cf. Ant. VI 38 22 διαφορὰς] συμφορὰς O et marg. Ald

σκήψασθαι, ἡγούμενος δεινὸν εἶναι, εἰ ἄρα περὶ | παίδων ἐφιλονικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκα
41 ἐξελάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ καὶ οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος ὅστις μὴ ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται ὅπως ἕλκος τις
42 αὐτοῦ τῶν ἐχθρῶν λήψεται; ἀλλὰ δῆλον ὅτι καὶ οἱ τοὺς νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον ἀλλήλων κατάξαντες τὰς κεφαλάς, ἐπὶ τούτοις ἠξίωσαν τῆς πατρίδος φυγὴν ποιήσασθαι· ἢ πολλούς γ' ἂν ἐξήλασαν· ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἐδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγούμενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κα-
43 τέσχον, οὐδὲν ἧττον τό γ' ἐκείνων πεποιῆσθαι. καὶ ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε περὶ τῆς προνοίας. καὶ γὰρ δεινὸν ⟨ἂν⟩ εἴη, εἰ ὅσοι ἐκ μέθης καὶ φιλονικίας ἢ ἐκ παιδιῶν ἢ ἐκ λοιδορίας ἢ περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, εἰ ὑπὲρ τούτων ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕτως [καὶ] ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιή-

1 *παιδικῶν* M corr., Bekker, sed cf. IV 7  3 *τινὰ* malit Rs, sed cf. XIII 60. 78  *δὲ* abesse malit Rs, sed cf. XIII 73. 52  4 *τραύματος* del. Hirschig, sed *πρ. τρ.* est idem atque *τραῦμα ἐκ προνοίας*  8 *νόμους* ⟨*τοὺς*⟩ malit Rs  9 *κατάξαντες* Dobr: *κατεάξαντες* X  10 *ποιῆσαι* Herw coll. I 31. 33. 34, sed cf. *κατεστήσαντο*, quod sequitur  11 *ἀποκτεῖναι* priore loco del. Herw  12 *ἔτρωσαν* ⟨*μὲν*⟩ Naber  14 *ὧν ἐπεβούλευσαν* Halb  *ὑπὲρ τούτ.* del. Herw  16 *τὸ γ' ἐπ' ἐκείνων* X (*ἐπ'* a pr. m. del.), *τό γ' ἐπ' ἐκείνοις* pp. Rs  18 *ἂν* add. C, om. X, *δεινὸν* habet X, *καὶ γὰρ* ⟨*ἂν*⟩ Dobr, sed cf. XXVIII 3  19 *παιδιῶν* C: *παιδικῶν* X, *παιδιᾶς* Dobr  *ἢ ἐκ λοιδορίας* Herw post *μέθης* transponit, tum *φιλ. περὶ παιδικῶν*  22 *καὶ* om. C, del. Rs, defendit Auger, sc. ut Simo *ποιήσαισθε*



σθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πατρίδος.
Θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ 44
αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν, ἀλλὰ τὸ μὲν τῶν εὐηθεστέρων, τὸ δὲ τῶν πανουργοτάτων. ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε ὅτι πολὺ ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο ἢ ἑτέρους ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. τὰ μὲν οὖν 45
ἄλλα ἐάσω· ὃ δ' ἡγοῦμαι ὑμῖν προσήκειν ἀκοῦσαι καὶ τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύτητος καὶ τόλμης, περὶ τούτου μνησθήσομαι. ἐν Κορίνθῳ γάρ, ἐπειδὴ ὕστερον ἦλθε τῆς πρὸς τοὺς πολεμίους μάχης καὶ τῆς εἰς Κορώνειαν στρατείας, ἐμάχετο τῷ ταξιάρχῳ Λάχητι 394
καὶ ἔτυπτεν αὐτόν, καὶ πανστρατιᾷ τῶν πολιτῶν ἐξελθόντων, δόξας ἀκοσμότατος εἶναι καὶ πονηρότατος, μόνος Ἀθηναίων ὑπὸ τῶν στρατηγῶν ἐξεκηρύχθη.
Ἔχοιμι δ' ἂν καὶ ἄλλα πολλὰ εἰπεῖν περὶ τούτου, ἀλλ' 46
ἐπειδὴ παρ' ὑμῖν οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος λέγειν, ἐκεῖνο ἐνθυμεῖσθε· οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν ἡμετέραν οἰκίαν εἰσιόντες, οὗτοι οἱ διώκοντες, οὗτοι οἱ
βίᾳ ἐκ τῆς ὁδοῦ συναρπάζοντες ἡμᾶς. ὧν ὑμεῖς μεμνη- 47
μένοι τὰ δίκαια ψηφίζεσθε, καὶ μὴ περιίδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα, ὑπὲρ ἧς ἐγὼ πολλοὺς κιν-

Rs, sed cf. VII 41, XIII 94  7 *ἠπίστασθε* Bernhardy  8 *ἂν* Tayl: *καὶ* X, cf. IV 13, XVI 7, XXI 16, XXV 29, XXVIII 14  9 *περὶ τῆς* Markl  *καθίστησι* Emperius, sed cf. [IX 14]  11 *τεκμ.* ⟨*μέγιστον*⟩ Herw, sed cf. XIII 20, XIX 56, XXVI 17  13 *ὕστερος* Hertlein  14 *στρατείας* Tayl: *στρατιᾶς* X  16 *ἀκοσμότατος* post Taylorum (*ἀκοσμιώτ.*) Emperius: *κοσμιώτατος* X, *ἀκολαστότατος* idem v. d. pp.  22 *ἡμᾶς* del. Halb  23 *με* add. Rs post *μή*, sed cf. 20, VII 25, XII 35 Foertsch obs. 65

δύνους κεκινδύνευκα καὶ πολλὰς λητουργίας λελητούργη-
κα, καὶ κακοῦ μὲν αὐτῇ οὐδενὸς αἴτιος γεγένημαι, οὐδὲ
48 τῶν ἐμῶν προγόνων οὐδείς, ἀγαθῶν δὲ πολλῶν· ὥστε
δικαίως ἂν ὑφ' ὑμῶν καὶ ὑπὸ τῶν ἄλλων ἐλεηθείην, οὐ
μόνον εἴ τι πάθοιμι ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι
ἠναγκάσθην ἐκ τοιούτων πραγμάτων εἰς τοιούτους ἀγῶ-
νας καταστῆναι.

4.

## ΠΕΡΙ ΤΡΑΥΜΑΤΟΣ ΕΚ ΠΡΟΝΟΙΑΣ, ΥΠΕΡ ΟΥ ΚΑΙ ΠΡΟΣ ΟΝ ⟨ΑΔΗΛΟΝ⟩.

1 Θαυμαστόν γε, ὦ βουλή, τὸ διαμάχεσθαι περὶ τούτου,
ὡς οὐκ ἐγένοντο ἡμῖν διαλλαγαί, καὶ τὸ μὲν ζεῦγος καὶ
τὰ ἀνδράποδα, καὶ ὅσα ἐξ ἀγροῦ κατὰ τὴν ἀντίδοσιν
ἔλαβον, μὴ ἂν δύνασθαι ἀρνηθῆναι ὡς οὐκ ἀπέδωκε,
φανερῶς δὲ περὶ πάντων διαλελυμένον ἀρνεῖσθαι τὰ
περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ἡμᾶς χρῆσθαι συγχωρῆσαι.
2 καὶ τὴν μὲν ἀντίδοσιν δι' ἐκείνην φανερός ἐστι ποιησά-
μενος, τὴν | δ' αἰτίαν δι' ἣν ἀπέδωκεν ἢ ἔλαβεν, οὐκ
ἂν ἄλλην ἔχοι εἰπεῖν (βουλόμενος τἀληθῆ λέγειν) ἢ ὅτι
3 οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. ἐβου-
λόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν'
ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν
ἐμὴν φυλὴν νικᾶν· νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ

9 Or. IV. *ΥΠΕΡ* Blass: περὶ X 10 *ΑΔΗΛΟΝ* add. Tayl 12 ἡμῖν περὶ τούτου διαλλ. verba a pr. m. del. X 14 ἔλαβε Scal ἀπέδωκε X, ἀπέδωκα c. libris quibusdam Rs 17 δι' del. Hamaker φανερός ex φανερῶς a pr. m. corr. X 18 ἀπέδωκεν sc res illas, ἔλαβεν servam cf. Herm. XIX 90, ἀπέδωκεν ἃ ἔλαβεν Tayl cf. Lipsius Att. Recht 595, ἀπ. καὶ ἔλ. Zaka, ἀντ. δι' ἣν ἔλαβεν ἐκείνην . . . αἰτ. δι' ἣν ἀπέδωκεν ἐκεῖνα Heldmann 19 γ' ἀληθῆ Hirschig, sed cf. XII 1 23 νικᾶν del. Halb, sed cf. Plat. leg. II p. 657ᵉ, Ar. Ran. 1473



γραμματεῖον ἀπέλαχε δέ. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, 4
Φιλῖνος καὶ Διοκλῆς ἴσασιν· ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρ-
τυρῆσαι μὴ διομοσαμένοις περὶ τῆς αἰτίας ἧς ἐγὼ φεύγω,
ἐπεὶ σαφῶς ἔγνωτ' ἂν ὅτι ἡμεῖς ἦμεν αὐτὸν οἱ κριτὴν
ἐμβαλόντες καὶ ἡμῶν ἕνεκα ἐκαθίζετο. Ἀλλ' ἦν, εἰ βού- 5
λεται, ἐχθρός· δίδωμι γὰρ αὐτῷ τοῦτο· οὐδὲν γὰρ δια-
φέρει. οὐκοῦν ἦλθον αὐτὸς αὐτὸν ἀποκτενῶν, ὡς οὗτός
φησι, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον. διὰ τί οὖν οὐκ
ἀπέκτεινα, ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον κρα-
τήσας ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν; φρασάτω πρὸς
ὑμᾶς. ἀλλ' οὐκ ἔχει εἰπεῖν. Καὶ μὴν οὐδείς γε ὑμῶν 6
ἀγνοεῖ ὅτι θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς ἀπέθανεν ἢ
πὺξ παιόμενος. φαίνεται τοίνυν οὐδ' αὐτὸς αἰτιώμενος
τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν, ἀλλ' ὀστράκῳ φησὶ
πληγῆναι. καίτοι φανερὸν ἤδη ἐξ ὧν εἴρηκεν, ὅτι οὐ
πρόνοια γεγένηται. οὐ γὰρ ⟨ἂν⟩ οὕτως ἤλθομεν, ἀδή- 7
λου ὄντος εἰ παρὰ τούτῳ εὑρήσομεν [ὄστρακον ἢ] ὅτῳ
αὐτὸν ἀποκτενοῦμεν, ἀλλ' οἴκοθεν ἔχοντες ἂν ἐβαδίζο-
μεν. νῦν δὲ ὁμολογούμεθα πρὸς παῖδας καὶ αὐλητρίδας
καὶ μετ' οἴνου ἐλθόντες. ὥστε πῶς ταῦτ' ἐστὶ πρόνοια;
ἐγὼ μὲν γὰρ οἶμαι οὐδαμῶς. Ἀλλ' οὗτος ἐναντίως τοῖς 8
ἄλλοις δύσερώς ἐστι, καὶ ἀμφότερα βούλεται, τό τε ἀρ-
γύριον μὴ ἀποδοῦναι καὶ τὴν ἄνθρωπον ἔχειν. εἶτα
ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος ὀξύχειρ λίαν καὶ

3 διομοσαμένοις cf. Ant. V 12. 15 ἧς Scal: ἡ X, ἣν Rs 4 οἱ αὐτὸν κριτὴν Cont 5 προβαλόμενοι Halb, sed cf. Isocr. XVII 34 εἵνεκα X ἐκαθίζετο X: ἐκαθέζετο vulg. 7 αὐτὸς del. Rs 16 προνοία hic et 20 X ἂν add. C ἄδηλον ὂν Herw, sed cf. Xen. Hipparch 4, 2 17 ὄστρακον ἢ del. Rs An 2, 22 ὅτῳ Markl: οὕτως X, ὄστρακόν τι ὅτῳ Cob, εὑρήσομέν τι ὅτῳ Herw, ὄστρακον ἢ πῶς Rauch 18 οἴκοθέν ⟨τι⟩ Bartelt 19 ὡς πρὸς Halb 20 μετ' οἴνου cf. Thuk VI 28, μεστοὺς οἴνου Rs, μεστοὶ οἴν. Halb 21 ἐναντίος X 24 παρωξυμένος X